ἀφορ. ςιχ. ς. 97. -- 100

ἰνῶν μυωδῶν εὐπετῶς ὡρμημένη
τὸ δρῶν τόδ' ἐξέωσεν ἢ παραυτίκα,
ἤγ' εὐπετῶς πως κἂν βραχεῖ τινι χρόνῳ
ἄρδην ἀμαλδύνασα τοῦδε τὴν δρᾶσιν,
ἐπὰν τόδ' ὀργῶν ἀδρανές τ' ᾖ κἄμβλύ πως,
ἡ ς' ἡ λύσις. φέρουσα δήπου παντελῆ νόσου Λύσιν (ε).
ἢ ὀψέπως, ἢν ὀξὺ τοῦτ' ὂν τυγχάνῃ
καὶ δραςικὸν μάξασα πρὶν ταῖσδ' ἐν χρόνῳ (ζ).
ἡ αὔξησ. ῥητοῖσι καιροῖς ἡμέραις θ' ὡρισμένῳ,
θλίβουσα μὲν τόδ' εὔτον' ἀγγείων σθένει,
ἀρτηριῶν δὴ καρδίας τ' εὐσφυξία.
κυκῶσα χυμῶν τῷ βιαίῳ δὲ τρόχῳ,
χ' οὕτως ἄρ' ὁρμῇ τῶνδ', ἐκείνων δὲ σθένει
τοῦτο προλεπτύνασα, συμμίξει δ' ἔτι
φυρμῷ τε λεπτῶν μαλθακῶν θ' ὑγρῶν θ' ὅσων
χυμῶν καθυγράνασά τ' ἐκλύσασά τε
τουτί τ' ἀραιώσασα, πυκνὸν εἰ μάλα
παχύ 'στί τε γλίσχρον τε καὶ πεπηγμένον
ξηρόν τε πάμπαν· εἰδέ που λεπτὸν τόδε
ἤγ' ἐκλελυμένον τε κἠραιωμένον
μάλ' ὀξύ τ' ἐςὶ, γλισχρότητι καὶ πάχει
χυμῶν ἐνειλήσασα συμμίξασά τε
καί πως προσυμπήξασα, καὶ τοῦδε δρᾶσιν
ὀξεῖαν

---

(ε) Ἀφορ. Ε. ε. ς. μ. Ζ. νβ. περὶ διαίτ. ὀξέων νς.
(ζ) Γαλην. περὶ τῶν ἐν νόσ. καιρῶν γ -- ς.